A

σ. 896 Αν. 619.

| |
|---|
| Νικηφόρου Πατριάρχου Κ/π. Ἱστορία σύντομος ἀπὸ τῆς Μαυρικίου βασιλείας |
| Migne: P.G. τ. 100. |

Μετὰ δὲ ταῦτα καὶ ὁ τῶν Ἀβάρων τοῦ ἔθνους ἡγεμὼν ἐπὶ συμβάσεσι τῷ Ἡρακλείῳ ἐπικηρυκεύεται... καὶ ἥκειν ὡς βασιλέα ἐπὶ σπονδαῖς ἐπαγγέλλεται. Ὁ δ' ἄρα ὑπερηδόμενος βουλεύεται ἐκ τῆς πόλεως Ἡράκλειαν, καθ' ἃ τὸ συγκείμενον τῷ Ἀβάρῳ συνθέσθαι, τὴν θυμελικὴν σκηνὴν προὔπεμψε, καὶ ἱππικὴν ἅμιλλαν ἐπὶ τῇ δοχῇ αὐτοῦ τελεῖν ἐπέτρεψε, στολάς τε αὐτῷ λαμπρὰς καὶ τοῖς συμπαροῦσιν ἐκόμιζεν.
Εἶτα καὶ ἐπὶ Σηλυμβρίαν πόλιν ἀφικόμενος ηὐλίζετο.
Τῇ δὲ ὑστεραίᾳ ἐκινεῖτο ὁ Χαγάνος σὺν πλήθει πολλῷ τῶν Ἀβάρων πρὸς τὴν Ἡράκλειαν παρῆν.
Ἀποδασμὸν δέ τινα τῶν οἱ ἑπομένων, οἳ ἄλκιμοί τε καὶ μαχιμώτατοι ἐτύγχανον ἀπολεξάμενος, κατὰ τὰ ὑπερκείμενα τῷ μακρῷ λεγομένῳ τείχει λοχμώδη τε καὶ ἀμφιλαφῆ ἐνέπηξαν, συνθέμενοι κρύβδην καὶ τούτους ἐκ τῶν δρυμῶν χωρίων ἐξελθόντα (depravatus hic locus, nec divinare necesse est), ἵνα καὶ νῶτα τοῦ βασιλέως γενόμενοι, αὐτόν τε μέσον καὶ τοὺς περὶ αὐτὸν ἀποκλεισάμενοι, σχοῖεν ὑποχείρωτον.
Τοῦ δὲ Ἡρακλείου αἰσθομένου, καὶ οὐ μικρῶς τῷ παραλόγῳ καταπλαγέντος, τὸ ἀλουργὸν ἀπαμφιέννυται ἔσθημα· οἰκτρὸν δέ τι καὶ πενιχρόν, ὡς ἂν ἰδιώτης τοῖς ἐντυγχάνουσι φαίνοιτο, περιβαλλόμενος ἔνδυμα, τόν τε στέφανον τὸν βασίλειον τῇ ὠλένῃ περιαψάμενος, ἀρξάμενος παραχρῆμα ἐς φυγὴν ἐτράπετο, καὶ ποσὶ πρὸς τὸ Βυζάντιον διώκετο.
Οἱ δὲ Ἄβαροι σὺν θυμῷ κατὰ τὴν δίωξιν ἐπέκειντο.
Καὶ πρὸς τὸ ἐκτὸς πεδίον ὃ Ἕβδομον καλοῦσι καταλαβόντες ἱδρύσαντο...

(ἀκολουθεῖ)

ἐπί τε βασιλικὴν ἐσθῆτα καὶ τὰς στολὰς περιλαμβάνουσι, πρὸς δὲ καὶ τὰ θυμελικὰ ὄργανα καὶ τοὺς λακωνίζοντας ἅπαντας. Πλεῖστα δὲ ὅσοι λαοὶ ἀνδραποδισμένοι δορυάλωτοι ἄγοντες πρὸς τὰ ὀπίσω ἀπηνέγκαντο, ὡς ἑβδομήκοντα δὲ καὶ διακοσίας χιλιάδας ἀνδρῶν καὶ γυναικῶν, καθάπερ ἔνιοι τῶν ἀλόντων διαδράντες ἀλλήλοις συνῳδὰ ἔφασαν, ὁ ἀριθμὸς αὐτοὺς ἅπας συνήγετο.

σ. 976 Αν. 753.

Ταῦτα ἐπειδὴ ποιήσας Κωνσταντῖνος ἤρξε δομεῖσθαι τὰ ἐπὶ Θρᾴκην πολίσματα, ἐν οἷς ᾤκιζε Σύρους καὶ Ἀρμενίους, οὓς ἔκ τε Μελιτηναίων πόλεως καὶ Θεοδοσίου πόλεως μετανάστας πεποίηκε. Ταῦτα τοίνυν οἱ Βούλγαροι οὐκ ἐπεδέχοντο θεασάμενοι, φόρους ἤτουν παρὰ βασιλέως δέξασθαι. Τοῦ δὲ μὴ δεξαμένου ὥρμησαν ὁπλισάμενοι τὰ ἐπὶ Θρᾴκην χωρία κατέδραμον, καὶ μέχρι τοῦ μακροῦ καλουμένου τείχους ἐπεξῆλθον. Ὁ δὲ ἀντεπεξελθὼν καὶ συμβαλὼν πόλεμον εἰς φυγὴν ἐτρέψατο, καὶ ἔκτεινεν ἀνὰ κράτος, καὶ πλείστους Βουλγάρους ἀνεῖλε.